TEZAUR LITURGIC

**5 MARTIE**

# PARACLISUL SF.MUCENIC CONON DIN ISAURIA

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών Ὁσιομάρτυρος ΚΟΝΩΝΟΣ τοῦ ἐν Ἰσαυρίᾳ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Οἱ τῷ κελλίῳ τῆς Πανάγνου προσμένοντες, καί ἐν ἑσπέρᾳ τε πρωΐ ἱκετεύοντες, πρό τῆς ἁγίας Κάρας βοῶμεν θερμῶς· Ἅγιε νῦν πρόφθασον, ἐξελοῦ ἡμᾶς πάντας, πόθῳ δεομένων σοι, ἐκ βαθέων καρδίας, ἐκ τῶν παγίδων καί τῶν συμφορῶν, ὡς κεκτημένος, τήν χάριν πρός Κύριον.

Δόξα. Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τό κλέος Ἰσαυρέων σέ ἐγένου, μακάριε, Κόνων ἀκλινῶς εὐδρομήσας, ἐν ἀσκήσει καί θαύμασι, ἐν μέσῳ τῶν θορύβων τοῦ λαοῦ, ἐν ᾧ καί Μάρτυς γέγονας Χριστοῦ· διά τοῦτο καί ἡμεῖς σύν τῷ θείῳ Μιχαήλ, βοῶμεν σοι θεοφόρε· χαίροις Ὀρθοδοξίας ὁδηγέ· χαίροις ὁ τῶν εἰδώλων ἐλατήρ· χαίροις ὁ καί εἰσάξας τῷ λαῷ, πᾶσαν εὐσέβειαν.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών· οὗ ἡ ἀκροστιχίς· *Ὁσιομάρτυς Κόνων σκέπε σά τέκνα εὐχαῖς σου.*

ᾨδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ὁμήγυρις πᾶσα ἡ τῆς Κρανιᾶς, τῷ Κυρίῳ ᾄδει, ἱκετεύουσα ταπεινῶς, ὅπως καταπέμψῃ θείαν χάριν, ἐγκωμιᾶσαι ἀξίως τόν Κόνωνα.

Συνών σύν Ἀγγέλοις, ὦ Ἀθλητά, καί μέλπων ἀπαύστως, τόν τρισάγιον σύν αὐτοῖς, ὑπέρ τῶν τεκνίων μη ἐλλίπῃς, τοῦ δυσωπεῖν καθ’ ἑκάστην τόν Κύριον.

Ἰδού νῦν προσήλθομεν, Ἀθλητά, καί ἐν κατανύξει ἱκετεύομεν ἐν κλαυθμῷ, τάς ἐνέδρας πάσας, Ἀθλοφόρε, τοῦ πολεμήτορος τάχος ἀφάνισον.

Οἱ παῖδες σου, Πάτερ, ἐν συντριβῇ, τήν ἁγίαν Κάραν σοῦ κυκλοῦντες ἐν στεναγμοῖς, καί ἐν εὐλαβείᾳ προσκυνοῦντες, σήν προστασίαν καί χάριν αἰτούμεθα.

Θεοτοκίον.

Μαρίαν τήν ἄχραντον, ἀδελφοί, μετά Γρηγορίου, καί τοῦ Κόνωνος ἐν χαρᾷ, δεῦτε νῦν αἰνέσωμεν ἐν ὕμνοις, ὡς τῷ Κυρίῳ πρευσβεύοντες πάντοτε.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἀπό πάσης νῦν ζάλης τῶν πειρασμῶν, Ὅσιε, τῆς ἐπικρατείας παθῶν τε, ἡμᾶς ἀπάλλαξον, Ὁσιομάρτυς Χριστοῦ, ἀξιοθαύμαστε Κόνων, ὡς ταχύς καί ἄμαχος ῥύστης τῶν θλίψεων.

Ῥητορεύουσαν γλῶσσαν μή ἐσχηκώς, Ἅγιε, τάς εὐεργεσίας καί χάριν ἅς μοί ἀπέδωκας, ἐγκωμιᾶσαι νυνί οὐκ ἐξαρκῶ· ἀλλά δέχου, τό παρόν ἐφύμνιον, ὡς συμπαθέστατος.

Τά τοῦ σώματος πάθη καί τῆς ψυχῆς τραύματα, πάντα θεραπεύων ἐν τάχει πᾶσι χορήγησον, τοῦ ἀνυμνεῖν ἐν χαρᾷ, σήν χαριτόβρυτον Κάραν, ἥν περ ἀσπαζόμεθα πόθῳ τῷ ζέοντι.

Ὑμνωδίαν προσδέχου, τῶν ἀσκητῶν καύχημα, Ὁσιομαρτύρων τῶν πάντων, κλεινόν ἀγλάϊσμα, τῶν σῶν τεκνίων νυνί ἐν συντριβῇ προσπιπτόντων, πρό τῆς Κάρας Ἅγιε, Κόνων παυνθαύμαστε.

Θεοτοκίον.

Σωτηρία ὑπάρχεις Χριστιανῶν, Πάνσεμνε, ὅτι τόν Σωτῆρα τοῦ κόσμου, ἀφράστως τέτοκας· διό δεόμεθα

νῦν, καί ἱκετεύομεν πόθῳ, σωτηρίαν ἅπασι δίδου, Μητρόθεε.

Διάσωσον, ἀπό κινδύνων, ὦ Κόνων, τούς δεομένους, καί φρούρει διαπαντός αὐτούς τῇ σῇ χάριτι, ὡς ἔχων Κυρίῳ τήν παῤῥησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβεύεις ἀεί,ωΚυρίῳ, παναοίδιμε, ὡς ἔχων θερμόν, ὦ Κόνων, τό φιλάδελφον· διό πάντες ἄδομεν, ἐκ κινδύνων, πόνων τε καί θλίψεων, και τῶν παγίδων ὄφεως δεινοῦ, λοιμῶν τε παντοίων ἐλευθέρωσον.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Κατανύξει προσήλθομεν, πρό τῆς σῆς ἁγίας Κάρας, πανεύφημε, ἱκετεύοντες ἐν δάκρυσι, τοῦ εὑρεῖν τήν λύσιν ἐκ τῶν θλίψεων.

Ὁμοθύμως προσπίπτομεν, τά ἐν τῶ Κελλίῳ Κρανιᾶς τεκνία σου, καί σήν Κάραν ἀσπαζόμενοι, προστασίαν ἄμαχον αἰτούμεθα.

Νικητής ἀναδέδειξαι, κατά τῶν δαιμόνων, Σταυροῦ τῇ χάριτι, καί ἡμᾶς, Κόνων, ἀξίωσον, μιμητάς γενέσθαι κατά δύναμιν.

Ὡραιώθησαν, Ἅγιε, τρίβοι τῶ τεκίων, ἀξιοθαύμαστε, ὡς τήν Κάραν σου κατέχοντα, καί ἐκ ταύτης δύναμιν λαμβάντα.

Θεοτοκίον.

Νέα κλίμαξ, Πανάχραντε, καί ἡμῖν γενοῦ, Ὁσιομάρτυρος, ταῖς εὐχαῖς καί ταῖς δεήσεσι, πολιούχου Μάρτυρος τοῦ Κόνωνος.

ᾨδή ε΄. Φώτισον ἡμᾶς.

Σύμπασα πληθύς, τοῦ Ἁγίου Ὄρους, Ἅγιε, μετ’ εὐλαβείας συνῆλθε ἱεράν, πρό τῶν σῶν ἁγίων λειψάνων τελεῖ πανήγυριν.

Κόνων θαυμαστέ, Ὀρθοδόξων μέγα καύχημα, τήν Ἐκκλησίαν φρούρει ἀπό παντός, πειρατηρίου, ὀργῆς τε καί πάσης θλίψεως.

Ἔπαρον τανῦν, τάς ἁγίας χεῖρας, Ἅγιε, ἀντιδιδούς ἡμῖν πᾶσιν τήν ταχινήν, παρά Κυρίου εἰρήνην καί ἀντίληψιν.

Πάντες ἐν χαρᾷ, νῦν προσπίπτομεν τῇ Κάρᾳ σου, καθικετεύοντές σε, Κόνων σοφέ, εὑρεῖν τήν λύσιν ἁπάντων δεινῶν, μακάριε.

Θεοτοκίον.

Εὕρομεν, Ἁγνή, διά Σοῦ εἰρήνην, ἄφεσιν, ἐν τρικυμίαις ὄντως Σε γαληνόν, θεῖον λιμένα, ψυχῶν τε σωμάτων ἅπαντες.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Τά τραύματα, τῆς ψυχῆς μου, Ἅγιε, θεραπεύων καθ’ ἑκάστην, ὦ Κόνων, παρά Χριστοῦ τήν εἰρήνην βραβεύεις, ἥν ὁ ἐχθρός φυγαδεύει ὁ δόλιος· διό προσπίπτω ταπεινῶς, ἱκετεύων συνεῖναί μοι πάντοτε.

Ἀρχάγγελον, Μιχαήλ ὡς ἔβλεψας, σέ μυοῦντα τά μυστήρια, Πάτερ, ὅλως αὐτῷ ἠκολούθησας, Κόνων, τόν Ἰησοῦν ἀγαπήσας θερμότατα, Αὐτῷ πρεσβεύειν ἐκτενῶς, μή ἐλλίπῃς ὑπέρ τῶν τεκνίων σου.

Σοφίας σε, ἐραστήν ἐπέγνωμεν, ἀληθοῦς καί οὐρανίου, ὦ Κόνων· ὅθεν ἡμεῖς οἱ κυκλοῦντες σήν Κάραν, καθικετεύομεν πάντες ἐν ἄσμασι· παρέχεις γάρ παρά Χριστοῦ, τά αἰτήματα ὄντως, πανθαύμαστε.

Ἁγίασον, τάς ἐννοίας, Ἅγιε, τῆς ψυχῆς μου, ὅπως ἴδω τήν δόξαν, ἐν οὐρανοῖς, ἀξιάγαστε Κόνων, ἥν ἀπολαύεις συνῶν τῷ Δεσπότῃ σου, αὐτήν μετάδος καί ἡμῖν, καθαρθεῖσι δακρύων ταῖς χύσεσι.

Θεοτοκίον.

Τήν ἄχραντον, Παναγίαν Δέσποιναν, προστασίαν κεκτήμενος ἐν πᾶσιν, μετά σπουδῆς ἠκολούθησας ὄντως, τήν τοῦ Χριστοῦ διδαχήν καί ἀλήθειαν· αὐτήν βαδίζειν καί ἡμᾶς, καταξίωσον θείαις πρεσβείαις σου.

Διάσωσον, ἀπό κινδύνων, ὦ Κόνων, τούς δεομένους, καί φρούρει διαπαντός αὐτούς τῇ σῇ χάριτι, ὡς ἔχων Κυρίῳ τήν παῤῥησίαν.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παῤῥησίαν.

Κοντάκιον. Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.

Οἱ ἐν θλίψεσι καί πειρασμοῖς παιδευόμενοι, ἔν τε δάκρυσι καί στεναγμοῖς ἱκετεύοντες, τῇ σεπτῇ καί ἁγίᾳ Κάρᾳ Κόνωνος νυνί προσπίπτοντες, μετά κλαυθμοῦ Ὁσιομάρτυρι Χριστοῦ, κατανύξει βοήσωμεν· ἴδε, Ὁσιομάρτυς, τήν κάκωσιν σῶν τεκνίων καί ἐλευθέρωσον ἡμᾶς, τῶν παγίδων τοῦ ἀλλάστορος.

Προκείμενον. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον (Κεφ.ζ' 12– 21).

Εἶπεν ὁ Κύριος· πάντα ὅσα δ’ ἄν θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καί ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ Νόμος καί οἱ Προφῆται. Εἰσέλθετε διά τῆς στενῆς πύλης. Ὅτι πλατεία ἡ πύλη καί εὐρύχωρος ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ἀπώλειαν καί πολλοί εἰσίν οἱ εἰσερχόμενοι δι’ αὐτῆς. Ὅτι στενή ἡ πύλη καί τεθλιμμένη ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ζωήν καί ὀλίγοι εἰσίν οἱ εὑρίσκοντες αὐτήν. Οὐ πᾶς ὁ λέγων μου Κύριε, Κύριε, εἰσελεύσεται εἰς τήν

Βασιλείαν τῶν Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τό θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Τόν Ὁσιομάρτυρα, τόν τῆς Κρανιᾶς πολιοῦχον, δεῦτε ἱκετεύσωμεν, παῤῥησίαν ἔχοντα, πρός τόν Κύριον, ἅγιε Κόνων, ἴδε τήν κάκωσιν, σῶν τεκνίων καί ἀπόσβεσον, βέλη τοῦ δράκοντος, τά πεπυρωμένα μακάριε· ἔχεις γάρ τό φιλάδελφον, ὅ παρά Χριστοῦ ὄντως ἔλαβες· πρόφθασον καί ῥῦσαι, ἰδού γάρ σοί προσπίπτομεν οἰκτρῶς, ἐν μετανοίᾳ δεόμενοι, τοῦ εὑρεῖν τό ἔλεος.

ᾨδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐλπίς τῶν θλιβομένων, ἀνεδείχθης, ὦ Πάτερ, ἐν πειρασμοῖς κραταιοῖς, τῶν σοί προσερχομένων, ἐν πίστει καί βοώντων, κατανύξει καί ᾄσμασιν· εὐλογητός ὁ Θεός, Κόνωνος εἰς αἰῶνας.

Κανών ὁμολογίας, ἀληθείας Κυρίου, ἀναδειχθείς ἀληθῶς, τούς σέ παρακαλοῦντας, ἀξίωσον ἐν βίῳ, μιμητάς ἵνα ψάλλωσιν· εὐλογητός ὁ Θεός, Κόνωνος εἰς αἰῶνας.

Ναός Θεοῦ ἐγένου, τήν εἰδώλων μανίαν, ἀπενέκρωσας· διό, θερμῶς παρακαλοῦμεν, ναούς ἡμᾶς Κυρίου, σύ ἀνάδειξον ψάλλοντας· εὐλογητός ὁ Θεός, Κόνωνος εἰς αἰῶνας.

Ἰσχύν παρά Ἀγγέλου, προσελάβου ἐν βίῳ, τοῦ θαυμαστοῦ Μιχαήλ, διό τούς ἀνυμνοῦντας, ἐνίσχυσον κραυγάζειν, ἐκ καρδίας τοῖς χείλεσιν· εὐλογητός ὁ Θεός, Κόνωνος εἰς αἰῶνας.

Θεοτοκίον.

Ἁγία Θεοτόκε, τόν Υἱόν Σου δυσώπει, τοῦ συγχωρῆσαι ἡμᾶς, σύν θείῳ Γρηγορίῳ, καί πᾶσι τοῖς Ὁσίοις, καί προσάδειν ἐν ἄσμασιν· εὐλογητός ὁ Θεός, Κόνωνος εἰς αἰῶνας.

ᾨδή η΄. Τόν Βασιλέα.

Ἐπί τήν πέτραν, τήν τοῦ Χριστοῦ ᾠκοδομήσας, τόν οἶκον σου, Πάτερ, καί ὕμνεις Αὐτόν, ὡς Σωτῆρα εἰς αἰῶνας.

Ὑπέρ τῶν δούλων, σοῦ ἐκτενῶς μή ἐλλίπῃς, ἱκετεύων Κυρίῳ ὑμνούντων, και ὑπερυψούντων, εἰς πάντας τούς ἰῶνας.

Χριστόν ἱκέτευε, ἀγαθέ, ἀποστῆναι, ἀφ᾽ ἡμῶν πᾶσαν ζάλην ὑμνοῦντας, καί ὑπερυψοῦντας, Αὐτόν εἰς τούς αἰῶνας.

Ἀπό κινδύνων, καί συμφορῶν λοιμικῆς τε, καί δαιμόνων κακίας ἐξάρπασον, Πάτερ θεοφόρε, ἵν’ ὕμνοις σε ὑμνῶμεν.

Θεοτοκίον.

Φωταγωγοῦσα, νῦν τάς ψυχάς τῶν ἐν πίστει, δεομένων, Παρθένε, ἐνίσχυσον, ὅπως ἐν ὕμνοις, ὑμνῶμεν τόν Σωτῆρα.

ᾨδή θ΄. Κυρίως Θεοτόκον.

Σοφίαν ἀγαπήσας, ἐκ παιδός παμμάκαρ, τοῖς σοῖς γεννήτορσι ταύτην συζύγῳ καλῇ, πιστῶς μετέδωκας, Πάτερ, ὡς ἐνθεώτατος.

Σοφίαν τοῦ Κυρίου, καί ἡμῖν μετάδος, τοῖς δεομένοις ἐν ὕμνοις, πρό Κάρας τῆς σῆς, ἀξιοθαύμαστε Κόνων, ὡς συμπαθέστατος.

Ὁσίων καί Μαρτύρων, τοῖς χοροῖς συνήφθης, δι’ εὐσεβοῦς πολιτείας, ὦ Κόνων σοφέ, ταύτῃ ὁδήγησον πάντας τούς σέ γεραίροντας.

Θεοτοκίον.

Ὑμνοῦμεν Σε Παρθένε, μετά Γρηγορίου, Ὁσιομάρτυρος ἅμα τοῦ Κόνωνος νῦν, θερμήν πρεσβείαν Κυρίῳ τανῦν ποιήσατε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν

Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Μεγαλυνάρια.

Κάραν σου πλουτοῦμεν, θαυματουργέ, καί ταύτῃ ἐν πίστει, καταφεύγομεν ἐν δεινοῖς, Ὁσιομαρτύρων ἀγλάϊσμα καί κλέος, ὦ Κόνων θεοφόρε, Ὁσίων καύχημα.

Ὁσιομαρτύρων οἱ ἐρασταί, συνέλθετε πάντες, ἐν Κελλίῳ τῆς Μαριάμ, καί ἐν κατανύξει τήν Κάραν τοῦ Ἁγίου, ἐν ὕμνοις ἐγκωμίων ταύτην ὑμνήσατε.

Ναῦσον ἱκετῶν σου, ὦ ἀσκητά, τῶν νῦν δεομένων, τοῖς δακρύοις καί στεναγμοῖς, καί ἀσπαζομένων σήν Κάραν μετά πόθου, διδούς τήν εὐλογίαν, παρά τοῦ Κτίσαντος.

Ὦ τῶν ὑπέρ νοῦν θείων δωρεῶν, πανθαύμαστε Πάτερ, ἅς τοῖς δούλοις σου χορηγεῖς, τοῖς μετ' εὐλαβείας σήν Κάραν προσκυνοῦσι, καί τόν Χριστόν ὑμνοῦσι, Σωτῆρα Κύριον.

Νίκης διαδήμασι φαεινοῖς, σήν Κάραν ὁρῶμεν, ἐστεμμένην παρά Θεοῦ, διό καί αἰτοῦμεν, ἡμῖν τοῖς δεομένοις, τήν νίκην ἐν ἀγῶσι, βίου δωρήσασθαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά

τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τό Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τό κλέος Ἰσαυρέων σέ ἐγένου, μακάριε, Κόνων ἀκλινῶς εὐδρομήσας, ἐν ἀσκήσει καί θαύμασι, ἐν μέσῳ τῶν θορύβων τοῦ λαοῦ, ἐν ᾧ καί Μάρτυς γέγονας Χριστοῦ· διά τοῦτο καί ἡμεῖς σύν τῷ θείῳ Μιχαήλ, βοῶμεν σοι θεοφόρε· χαίροις Ὀρθοδοξίας ὁδηγέ· χαίροις ὁ τῶν εἰδώλων ἐλατήρ· χαίροις ὁ καί εἰσάξας τῷ λαῷ, πᾶσαν εὐσέβειαν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Κάρα τοῦ Ἁγίου καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Κάρα νῦν προσπέσωμεν πιστοί, τοῦ Ὁσιομάρτυρος πάντες, καί στεναγμοῖς τῆς ψυχῆς, Ἅγιε κραυγάζοντες, μή καταλίπῃς ἡμᾶς, τούς δεινῶς κινδυνεύοντας ἐκ ζάλης τοῦ βίου, πάσης τε αἱρέσεως, ἐπιδρομῆς τοῦ ἐχθροῦ, Κόνων, συμπαθέστατε Πάτερ· ὅθεν σοί προστρέχομεν πόθῳ, ἄφεσιν αἰτοῦντες ὧν ἡμάρτομεν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Στίχοι.

*Ὁσιομάρτυς μνήσθητι Ἰακώβου,*

*ἐν πολλῇ θλίψει γράψαντος σόν κανόνα.*

